# AISCHYLOS' SCHUTZFLEHENDE

## Parodos

(1—175)

Der Koryphaios προλογίζει.

Ζεὺσ μὲν Ἀφίκτωρ ἐπίδοι προφρόνωσ
στόλον ἡμέτερον, νάιον ἀρθέντ'
ἀπὸ προστομίων λεπτοψαμάθων
Νείλου· Δίαν δὲ λιποῦσαι
χθόνα σύγχορτον Συρίαι φεύγομεν,
οὔτιν' ἐφ' αἵματι δημηλασίαν
ψήφωι πόλεωσ γνωσθεῖσαι,
ἀλλ' αὐτογενεῖ φυξανορίαι
γάμον Αἰγύπτου παίδων ἀσεβῆ
τ' ὀνοταζόμεναι <διάνοιαν>.
Δαναὸσ δὲ πατὴρ καὶ βούλαρχοσ
καὶ στασίαρχοσ τάδε πεσσονομῶν
κύδιστ' ἀχέων ἐπέκρανε,
φεύγειν ἀνέδην διὰ κῦμ' ἅλιον,
κέλσαι δ' Ἄργουσ γαῖαν, ὅθεν δὴ
γένοσ ἡμέτερον, τῆσ οἰστροδόνου
βοὸσ ἐξ ἐπαφῆσ κἀξ ἐπιπνοίασ
Διὸσ εὐχόμενον, τετέλεσται.
τίν' ἂν οὖν χώραν εὔφρονα μᾶλλον
τῆσδ' ἀφικοίμεθα
σὺν τοῖσδ' ἱκετῶν ἐγχειριδίοις,
ἐριοστέπτοισι κλάδοισιν;
ὧν πόλις, ὧν γῆ καὶ λευκὸν ὕδωρ
ὕπατοί τε θεοὶ καὶ βαρύτιμοι